τὴν τῶν ἱππέων, Διαγόρας [δὲ] κατέλυσεν ἀδικηθεὶς περὶ γάμον. ἐκ δὲ δικαστηρίου κρίσεως, ἡ ἐν Ἡρακλείᾳ στάσις ἐγένετο· καὶ ἐν Θήβαις ἐπ' αἰτίᾳ μοιχείας δικαίως μὲν, στασιωτικῶς δὲ ποιησαμένων τὴν κόλασιν· τῶν μὲν ἐν Ἡρακλείᾳ, κατ' Εὐρυτίωνος· τῶν δ' ἐν Θήβαις κατ' Ἀρχίου· ἐφιλονείκησαν γὰρ αὐτοὺς οἱ ἐχθροὶ, ὥστε δεθῆναι ἐν ἀγορᾷ ἐν τῷ κύφωνι. πολλαὶ δὲ καὶ διὰ τὸ ἄγαν δεσποτικὰς εἶναι τὰς ὀλιγαρχίας, ὑπὸ τῶν ἐν τῇ πολιτείᾳ τινῶν δυσχερανάντων κατελύθησαν. ὥσπερ ἡ ἐν Κνίδῳ, καὶ ἡ ἐν Χίῳ ὀλιγαρχία. γίγνονται δὲ καὶ ἀπὸ συμπτώματος μεταβολαὶ, καὶ τῆς καλουμένης πολιτείας, καὶ τῶν ὀλιγαρχιῶν· ἐν ὅσαις ἀπὸ τιμήματος βουλεύουσι καὶ δικάζουσι, καὶ τὰς ἄλλας ἀρχὰς ἄρχουσι. πολλάκις γὰρ τὸ ταχθὲν πρῶτον τίμημα πρὸς τοὺς παρόντας καιροὺς, ὥστε μετέχειν, ἐν μὲν τῇ ὀλιγαρχίᾳ, ὀλίγους· ἐν δὲ τῇ πολιτείᾳ, τοὺς μέσους, εὐετηρίας γιγνομένης δι' εἰρήνην, ἢ δι' ἄλλην τινὰ εὐτυχίαν, συμβαίνει πολλαπλασίου γίγνεσθαι τιμήματος ἀξίας τὰς αὐτὰς κτήσεις, ὥστε πάντας πάντων μετέχειν· ὁτὲ μὲν ἐκ προσαγωγῆς, καὶ κατὰ μικρὸν γινομένης τῆς μεταβολῆς καὶ λανθανούσης· ὁτὲ δὲ καὶ θᾶττον. αἱ μὲν οὖν ὀλιγαρχίαι μεταβάλλουσι καὶ στασιάζουσι διὰ τοιαύτας αἰτίας. ὅλως δὲ καὶ αἱ δημοκρατίαι, καὶ ὀλιγαρχίαι, ἐξίστανται ἐνίοτε, οὐκ εἰς τὰς ἐναντίας πολιτείας, ἀλλ' εἰς τὰς ἐν τῷ αὐτῷ γένει· οἷον, ἐκ τῶν ἐννόμων δημοκρατιῶν ὀλιγαρχιῶν, εἰς τὰς κυρίους, καὶ ἐκ τούτων εἰς ἐκείνας.

Κεφάλαιον ζ.

Ἐν δὲ ταῖς ἀριστοκρατίαις γίγνονται αἱ στάσεις· αἱ μὲν, διὰ τὸ ὀλίγους τῶν τιμῶν μετέχειν· ὅπερ εἴρηται κινεῖν καὶ τὰς ὀλιγαρχίας, διὰ τὸ καὶ τὴν ἀριστοκρατίαν ὀλιγαρχίαν εἶναί πως· ἐν ἀμφοτέραις γὰρ ὀλίγοι οἱ ἄρχοντες· οὐ μέντοι διὰ ταὐτὸν ὀλίγοι· ἐπεὶ δοκεῖ γε διὰ ταῦτα καὶ ἡ ἀριστοκρατία ὀλιγαρχία εἶναι. μάλιστα δὲ τοῦτο συμβαίνειν ἀναγκαῖον ὅταν ᾖ τὸ πλῆθος τῶν πεφρονηματισμένων, ὡς ὅμοιον κατ' ἀρετήν· οἷον ἐν Λακεδαίμονι οἱ λεγόμενοι Παρθενίαι· ἐκ τῶν ὁμοίων γὰρ ἦσαν· οὓς φωράσαντες ἐπιβουλεύσαντας ἀπέστειλαν Τάραντος οἰκιστάς. ὅταν τινὲς ἀτιμάζωνται μεγάλοι ὄντες,

A gubernatio equitum sublata est per Diagoram qui affectus iniuria fuerat ex nuptiis. Ex iudicio autem apud Heracleam seditio extitit: & Thebis ob adulterij iudicium. Atqui vtroque in loco non iniusta fuerat accusatio, sed per factionem pœna nimis exasperata: apud Heracleam quidē aduersus Eurytionem, Thebis verò aduersus Archium, quos inimici peruincentes in foro ligari, ac ceruicem eius annulo B ferreo includi fecerunt. Sæpe etiam paucorum gubernationes dissolutæ fuerunt ob nimiam dominationem, non probantibus quibusdam ex ipsis qui gubernabāt, huiusmodi excessum: vt accidit his qui apud Gnidum, & apud Chiū per paucorū potentiam gubernabant. Fiunt etiam casu mutationes illis quæ vocantur respublicæ, & gubernationes paucorum, vbicunque à censu sumuntur ad deliberandum, C & iudicandum, & ad cæteros magistratus. Sæpe enim constitutus primo censu ad præsens tempus, vt participent in paucorum quidem gubernatione pauci, in republica verò medij, fœlicitate aliqua superueniente, vel per pacem, vel per aliam causam, contingit easdem possessiones multo maioris pretij fieri: itaque omnes efficiuntur habiles ad cunctos reipublicæ D gradus dignitatésque suscipiendas, ídque contingit interdum sensim & latenter, interdum celerius. Paucorum igitur gubernationes mutantur, & seditionem recipiunt per huiusmodi causas. Omnino autem & popularis status, & paucorum potentiæ conuertuntur interdum non in contrarias species, sed in eas quę sunt proprij generis, ceu ex institutis popularibus & paucorum, in ipsa propria, & ex illis E rursus in ista.

CAPVT VII.

IN optimatibus autem seditiones fiunt, interdum quidem ex eo quòd pauci sunt honorum participes, quod in paucorum gubernatione diximus seditionem mouere. nam optimatū gubernatio quodammodo paucorum est: in vtraque enim pauci gubernant, non tamē propter idem pauci, cùm videatur propterea optima- F tum gubernatio esse paucorum. maximè verò id accidere necesse est, quando fuerit multitudo aliter sentientium, quasi similis secundum virtutem, velut apud Lacedæmonios ij qui Partheniæ nuncupabantur (ex similibus enim erat) quæ deprehensos res nouas moliri, in coloniam Tarentum misere, vel quando aliqui inhonorantur, cùm sint magni, & ni-